Ακαδημία Αθηνών / Academy of Athens

δέας παντοίας ἔχοντα καὶ χ ρ ο ι ὰ ς καὶ ἡδονὰς... οὐδὲ χ ρ ο ι ὴ ἔνδηλος ἦν οὐδεμία Διογένης 5.11 καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς καὶ χ ρ ο ι ῆ ς ἄπειροι Δημόκριτος 9 νόμῳ ... γλυκὺ...νόμῳ πικρὸν...νόμῳ χ ρ ο ι ὴ 125 νόμῳ χ ρ ο ι ή, νόμῳ γλυκύ, νόμῳ πικρόν.

**χρόνος 1.** Ὁ χρόνος, time, Ἀναξίμανδρος 1 διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χ ρ ό ν ο υ τάξιν Μέλισσος 7(2) ὀλεῖται πᾶν ἐν τῷ παντὶ χ ρ ό ν ῳ Ἐμπεδοκλῆς 17.29 ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χ ρ ό ν ο ι ο 30.2 ἐς τιμάς τ᾽ ἀνόρουσε τελειομένοιο χ ρ ό ν ο ι ο 110.8 ἦ σ᾽ ἄφαρ ἐκλείψουσι περιπλομένοιο χ ρ ό ν ο ι ο. || Ἐμπεδοκλῆς 115.7 φυομένους παντοῖα διὰ χ ρ ό ν ο υ εἴδεα θνητῶν **2.** Χρόνος/μέτρο διάρκειας, time/measure of duration, Ξενοφάνης 18.2 ἀλλὰ χ ρ ό ν ῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον Δημόκριτος 160 τὸ γὰρ κακῶς ζῆν ... οὐ κακῶς ζῆν εἶναι, ἀλλὰ πολὺν χ ρ ό ν ο ν ἀποθνήσκειν 235.5 αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι᾽ ὀλίγου γίνονται, ὁκόσον ἂν χ ρ ό ν ο ν ἐσθίωσιν 297 τὸν τῆς βιοτῆς χ ρ ό ν ο ν ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χ ρ ό ν ο υ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**χρυσός.** Χρυσός, gold, Ἡράκλειτος 9 ὄνους σύρματ᾽ ἂν ἑλέσθαι μᾶλλον ἢ χ ρ υ σ ὸ ν 22 χ ρ υ σ ὸ ν γὰρ οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον 90 πυρός τε ἀνταμοιβὴ τὰ πάντα καὶ πῦρ ἁπάντων ὅκωσπερ χ ρ υ σ ο ῦ χρήματα καὶ χρημάτων χ ρ υ σ ό ς Μέλισσος 8(2)-(3) εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σίδηρος καὶ χ ρ υ σ ὸ ς ... καὶ χ ρ υ σ ὸ ς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκεῖ εἶναι πᾶν Δημόκριτος 51 ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χ ρ υ σ ο ῦ 171 εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ οὐδὲ ἐν χ ρ υ σ ῷ· ψυχὴ οἰκητήριον δαίμονος.

**χρώς 1.** Χροιά, colour, Παρμενίδης 8.41 τόπον ἀλλάσσειν διά τε χ ρ ό α φανὸν ἀμείβειν **2.** Δέρμα, skin, Ἐμπεδοκλῆς 76.3 ἔνθ᾽ ὄψει χθόνα χ ρ ω τ ὸ ς ὑπέρτατα ναιετάουσαν 100.17 πορθμοῦ χωσθέντος βροτέῳ χ ρ ο ῒ ἠδὲ πόροιο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ